Τῇδε πᾶς ἕπου, δίωκε, καὶ τὸν ἄνδρα πυνθάνου
Τῶν ὁδοιπόρων ἁπάντων. τῇ πόλει γὰρ ἄξιον.
Ξυλλαβεῖν τὸν ἄνδρα τοῦτον, ἀλλά μοι μηνύετε,
Εἴ τις οἶδ' ὅποι τέτραπται γῆς ὁ τὰς σπονδὰς φέρων.

A *Hac sequere me omnis, persequere, & de viro hoc ex omnibus*
*Scitare viatoribus. nam dignum ciuitate erit:*
*Vt virum prendamus istum: sed agite, mihi ostendite*
*Si quis nouit, quò sese iste cum fœderibus verterit.*

Σχόλια. Τῇδε πᾶς ἕπου.] ἐντεῦθεν παρῳδία γίνεται τοῦ χοροῦ ὃν συμπληροῦσιν οἱ Ἀχαρνεῖς. παράγονται δὲ συντόνως μετὰ σπουδῆς διώκοντες τὸν Ἀμφίθεον σπονδὰς ποιησάμενον πρὸς τοὺς Λακεδαιμονίους. γέγραπται δὲ τὸ μέτρον τροχαϊκόν, πρόσφορον τῇ τῶν διωκόντων γερόντων σπουδῇ. ταῦτα δὲ ποιεῖν εἰώθασιν οἱ τῶν δραμάτων ποιηταὶ κωμικοὶ καὶ τραγικοί, ἐπειδὰν δρομαίως εἰσάγωσι τοὺς χορούς, ἵνα ὁ λόγος συντρέχῃ τῷ δράματι. τὸ δὲ τῇδε, τοπικόν ἐστιν ἐπίρρημα καὶ κεῖται ἐν ἴσῳ τῷ ἐνταῦθα. καὶ ἔχει παρὰ τῷ ποιητῇ Ιλ. ο, B

Τῇ ἴμεν, ᾗ κεν δὴ συ κελαινεφὲς ἡγεμονεύεις.

C Σημαίνει δέ ποτε καὶ ῥῆμα προστακτικόν. Κύκλωψ, τῆ πίε οἶνον. (Bisetvs. τὸ δὲ τῆ ἀντὶ τοῦ λάβε, ἢ δέξαι, προστακτικόν ἐστιν ἀπὸ τοῦ τῷ ἀρρήτου θέματος, τάω, τᾶ, τῆ, κατὰ τροπὴν τοῦ α εἰς η. ἢ ἀπὸ τοῦ τῆμι ταυτοσήμου ὄντος. ἐν τῷ προστακτικῷ τῆ ὡς πίμπλη, ἵστη, ἀντὶ τοῦ πίμπλαθι, ἵσταθι, ἅπερ ἀπὸ τρίτου προσώπου τοῦ παρατατικοῦ γίνεται, κατ' ἀφαίρεσιν τῆς αὐξήσεως. Ὅμηρος Ιλ. ω.

Τῆ, σπεῖσον Διῒ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι.)

D ἐχρήσατο δὲ τῷ πληθυντικῷ ὁ Σώφρων εἰπών. τῆτε τοὶ κορῶναί εἰσιν. εἰσέρχεται γὰρ ὁ χορὸς διώκων τὸν Ἀμφίθεον. καὶ ἔστι μεταβολικὸν μέλος ἐκ δύο μονάδων μονοστροφικῶν. ὧν ἡ μὲν προτέρα, ιέ. κώλων ἔχει τὰς περιόδους. ὧν δὴ μὲν ἐν εἰσθέσει εἰσὶ τροχαϊκαὶ καὶ καταληκτικαὶ τετράμετροι. εἶτα ἐν ἐκθέσει κῶλα παιωνικὰ ἕνδεκα κρητικοῖς

B ἐπιμεμιγμένα, καὶ τὸ ἕκτον καὶ τὸ ὄγδοον καὶ δέκατον, δίρρυθμα. τὰ δ' ἄλλα, τρίρρυθμα. Καὶ τὸν ἄνδρα πυνθάνου.] ἀντὶ τοῦ περὶ τοῦ ἀνδρός. ὅμοιον γάρ ἐστι τῷ, ἄνδρα μοι ἔννεπε μοῦσα.

Bisetvs. Τὸν ἄνδρα πυνθάνου] ἀντὶ τοῦ πυνθάνου ἐκ ἢ παρὰ τῶν ὁδοιπόρων ἁπάντων περὶ τούτου τοῦ ἀνδρὸς ὅπου εἴη. τὸ δὲ τῶν παλαιῶν σχολίων παράδειγμα, τὸ ἔννεπε Μοῦσα, λέγω, οὐ σημαίνει τὸ πυνθάνεσθαι, εἴτε τὸ ἱστορεῖν, καὶ ἐρωτᾶν, ἀλλὰ μᾶλλον τὸ ἀγορεύειν, καὶ λέγειν.

C Σχόλια. Ξυλλαβεῖν τὸν ἄνδρα.] διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν, παρὰ τοῖς ἀρχαίοις. πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. εἰ μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ἢ ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ συλλαμβανομένου. ὥσπερ καὶ νῦν καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. οὐχὶ συλληψόμεθα αὐτόν. ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν. ὡς Ἰσοκράτης ἐν ταῖς Παραινέσεσι. ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν ἴσον τῷ, συναγωνιζομένην. ἐπάγει γοῦν καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον. καὶ Δημοσθένης ἐν πρώτῳ Φιλιππικῶν. Εἴ τις D οἶδ' ὅποι τέτραπται.] ἀστεία καὶ καθαρὰ εἰς ὑπερβολὴν ἡ σύνταξις, τὸ μὴ λέξιν οὐκ εἰς ποίαν γῆν πέφευγεν, ἀλλὰ ποῦ γῆς. δόξαν γὰρ πεπαιδευμένου καρπώσαιτο ἄν τις εἰπών.

ΣΤΡΟΦΗ κώλων ιά.

Ημι. Ἐκπέφευγ' οἴχεται
Φροῦδος. οἴμοι τάλας,
Τῶν ἐτῶν τῶν ἐμῶν.
Οὐκ ἂν ἐπ' ἐμῆς γε νεό-
τητος, ὅτ' ἐγὼ φέρων
Ἀνθράκων φορτίον
Ἠκολούθουν Φαΰλλῳ τρέχων,
Ὧδε φαύλως ἂν ὁ
Σπονδοφόρος οὗτος ὑπ' ἐμοῦ τότε δι-
ωκόμενος, ἐξέφυγεν.
Οὐδ' ἂν ἐλαφρῶς ἀπεπλίξατο.

STROPHE.

E *Fugit, euanuit,*
*Transiit, væ mihi,*
*O meos hos dies.*
*Non hic ita me, virum adhuc:*
*(Qui graue gerens onus*
*Ponè carbonibus*
*Consequebar Phayllum in fuga)*
F *Segniter cum suis*
*Fœderibus, in fugam agitatus, ita,*
*Inquio, me effugeret:*
*Non ita leui exiliret pede.*

Σχόλια. Τῶν ἐτῶν τῶν ἐμῶν.] οὐκ ἀπόβλητον οὐδὲ τοῦτό μοι δοκεῖ. σφόδρα γὰρ Ἀττικὴ ἡ φράσις. λείπει γὰρ τὸ ἕνεκα. τὸ καὶ τὴν ἔλλειψιν συνῆφθεν κοινὸν αὐτῷ πεποίηκε. λέγοις ἂν καὶ σὺ παραπλησίως. οἴμοι τῆς τύχης. μακάριος τῆς ἐμῆς παιδείας. Οὐκ ἂν ἐπ' ἐμῆς νεότητος.] ὁ μὲν χορὸς συνέστηκεν ἐξ ἀνδρῶν κδ. ἔστι δὲ νῦν γεροντικός. πάνυ δὲ ἐμμελῶς καὶ μετὰ πάσης ἀρετῆς ἐμιμήσατο γερόντων τρόπους καὶ λόγους. τρόπους μὲν ἐκ τῆς ἀκροχολίας. λόγους δὲ ἐκ τῶν πεζῶν ἔργων ὑπομνήσεως. τοιοῦτος ἡμῖν καὶ ὁ Νέστωρ δοκεῖ λέγων. ἡβῷμ' ὡς ὅτ' ἐπ' ὠκυρόῳ. καὶ πάλιν, εἴθ' ἡβώοιμι. τῷ κε τάχ' ἀντήσειε μάχης Κορυθαίολος Ἕκτωρ. ὁ μὲν οὖν Ὅμηρος, ἡρωϊκὸς ὢν ἡρωϊκῶν πράξεων μέμνηται. Ἀριστοφάνης δέ, ὡς μετρίοις ἀνδράσι καὶ βαναύσοις, περιέθηκεν ἄνθρακας καὶ φορτία βασταζόμενα. G Φαΰλλῳ.] ὁ Φάϋλλος. ἄριστος δρομεὺς Ὀλυμπιονίκης. ὁπλιτοδρόμος περιώνυμος. ὃν ἐκάλουν ὁδόμετρον. ἦν δὲ καὶ πένταθλος. ἐφ' οὗ καὶ ἐπίγραμμα τοιόνδε.

Πέντ' ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος.
Δίσκευσε δ' ἑκατὸν πέντ' ἀπολειπομένων.

Ἐγένετο δὲ καὶ ἕτερος ἀθλητὴς ὀγδόην ὀλυμπιάδα νικήσας καὶ τρίτος λωποδύτης. Ὧδε φαύλως ἄν.]